*ἂν δοκοίη, εἴ τίς μιν ἀνθρώπων ἐπιφράσαιτο οὕτω ποιέοντα. καὶ τοῖς ἀγάλμασι δὲ τουτέοισιν εὔχονται, ὁκοῖον εἴ τις δόμοισι λεσχηνεύοιτο, οὔ τι γινώσκων θεοὺς οὐδ᾽ ἥρωας οἵτινές εἰσιν.*

B 5

*(῾Ο ἥλιος) νέος ἐφ᾽ ἡμέρῃ . . . ἅπτεται καὶ σβέννυται.*

B 6

*Εἰ πάντα τὰ ὄντα καπνὸς γένοιτο, ῥῖνες ἂν διαγνοῖεν.* B 7

*Τὸ ἀντίξουν συμφέρον . . . ἐκ τῶν διαφερόντων καλλίστην ἁρμονίην.* B 8

*. . . ὄνους σύρματ᾽ ἂν ἑλέσθαι ἢ χρυσόν.* B 9

*Συλλάψιες ὅλα καὶ οὐχ ὅλα, συμφερόμενον διαφερόμενον, συνᾆδον διᾆδον, καὶ ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα.* B 10

*. . . πᾶν ἑρπετὸν πληγῇ νέμεται.* B 11

*Ποταμοῖσι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν ἕτερα καὶ ἕτερα ὕδατα ἐπιρρεῖ· καὶ ψυχαὶ δὲ ἀπὸ τῶν ὑγρῶν ἀναθυμιῶνται.* B 12

*῞Υες βορβόρῳ χαίρουσιν.* B 13